

# Ἄδουσι τὴν Ὠδὴν τοῦ Ἀρνίου

(Ἀποκαλ. ιε´ 3)



**Ἐπὶ τῇ ἱερᾷ Μνήμῃ**

## τοῦ Ὁσίου Λαζάρου τοῦ Γαλησιώτου

**7η Νοεμβρίου**

## Ἀπολυτίκια*

Ἦχος γ´. Θείας Πίστεως.




Θείου Πνεύματος τῇ ἐπινεύσει, βίᾳ φύσεως ὑπερυψώθης, καὶ ἐν Στύλῳ ὡς ἀσώματος ἔζησας· ἀγγελικῷ δὲ φρονήματι Λάζαρε, ἐν Γαλησίῳ τῷ Ὄρει διέλαμψας. Πάτερ Ὅσιε, Τριάδος Ἁγίας Σκήνωμα, ψυχῆς τὸ τριμερὲς ἡμῶν καταύγασον.

Ἕτερον. Ὅμοιον.

Σκεῦος ἔξοχον τοῦ Παρακλήτου, καὶ ὡράϊσμα Χοροῦ Ὁσίων, ὡς ἀσώματος ἐν Στύλῳ ἐβίωσας· τὸ δὲ Γαλήσιον Ὄρος ἐδόξασας, καὶ εἰς λιμένα σωτήριον ἔδειξας. Πάτερ Λάζαρε, Παρθένου θεράπον ἔκλαμπρε, λιτῶν Σου ταῖς αὐγαῖς ἡμᾶς ὁδήγησον.

---

(*) Ἐποιήθησαν, Χάριτι Θείᾳ, ὑπὸ † Σεβασμ. Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ, τῇ 14ῃ Ὀκτωβρίου 2021ῳ.